ἢ δεύτερον, ἢ τρίτον, ἢ τέταρτον μεταχειριστέον· εἶτα σαυτὸν ποιεῖσθαι παρασκευήν, ὥσπερ ἐν τοῖς προοιμίοις διήλθομεν τὰ περὶ τῶν ἀκροατῶν. εὐμενῆ μὲν οὖν τὰ περὶ σεαυτὸν ποιήσεις, ἐὰν οἷς ὁμολογεῖς ἐμμένῃς, καὶ διαφυλάττῃς φίλοις τοῖς αὐτοῖς διὰ παντὸς τοῦ βίου, καὶ περὶ τῶν ἄλλων ἐπιτηδευμάτων φαίνῃ μὴ μεθιστάμενος, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς χρώμενος. προσέξουσι δέ σοι, ἐὰν μεγάλας καὶ καλὰς μεταχειρίζῃ τὰς πράξεις, καὶ τοῖς πολλοῖς συμφερούσας. εὐμενεῖς δὲ γινόμενοι, ὅταν ἐπὶ τῶν πράξεων γένῃ, ὅσαι τῶν κακῶν ἀποτροπὴν ἔχουσι τῶν δ' ἀγαθῶν παρουσίαν, ταύτας μὲν ὡς συμφερούσας αὐτοῖς, ἀποδέξονται. ὅσαι δὲ τἀναντία παρασκευάζουσιν αὐτῶν, ταύτας ἀποδοκιμάσουσιν. αὐτὶ δὲ τοῦ ταχεῖαν καὶ σαφῆ καὶ μὴ ἄπιστον τὴν διήγησιν λέγεσθαι, τὰς πράξεις δεῖ ταύτας ποιεῖσθαι. ταχέως μὲν οὖν ἐπιτελέσεις, ἂν μὴ πάντα πράττειν ἅμα βούλῃ, ἀλλὰ πρότερον τὸ πρῶτον, ἔπειτα τὸ ἑξῆς. καθαρῶς δὲ, ἂν μὴ ταχὺ τῆς πράξεως παυόμενος, ἄλλα πράγματα μεταχειρίζῃ, πρὶν ταύτην ἐπιτελέσαι, μὴ ἄπιστος δὲ, ἂν μὴ παρὰ τὸ ἦθος τὸ σαυτοῦ πράττῃς. πρὸς δὲ τούτοις, ἂν μὴ προσποιῇ τοῖς αὐτοῖς ἐχθροῖς καὶ φίλοις εἶναί σοι. ἐκ δὲ τῶν πίστεων ληψόμεθα, περὶ ὧν μὲν ἐπιστήμην ἔχομεν, κατὰ τὴν ταύτης ἐξήγησιν τὰς πράξεις ἐπιτελεῖν. περὶ ὧν δὲ τυγχάνομεν ἀγνοοῦντες, κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον. ἀσφαλέστατον γὰρ πράττειν περὶ τῶν οὕτως ἐχόντων, πρὸς τὸ εἰωθὸς ἀποβλέποντας. εἰς δὲ τὸν πρὸς τοὺς ἀντιδίκους ἀγῶνα, ἐν μὲν τοῖς λόγοις, ἐκ τῶν λεγομένων ποιήσομεν βεβαιότητα περὶ ἡμῶν. ἐν δὲ τοῖς συμβολαίοις τοῦτο ποιήσομεν, ἐὰν κατὰ τοὺς νόμους αὐτὰ μεταχειριζόμεθα τοῖς ἀγράφοις καὶ τοῖς γεγραμμένοις μετὰ μαρτύρων ὡς βελτίστων ὁριζομένοις χρόνοις. ἐκ δὲ τοῦ ἐπιλόγου, περὶ μὲν τῶν λελεγμένων, ἀναμνήσομεν τοὺς ἀκροατὰς, τὰ πραχθέντα ἐν κεφαλαίῳ αὖθις εἰπόντες. ἐξ ὧν δὲ πράττομεν, ἀναμνήσομεν οὕτως, ἐπειδὰν τὰς αὐτὰς πράξεις, ἢ τὰς ὁμοίας μεταχειριζόμεθα ταῖς προτέραις. φιλικῶς δ' διακείσονται πρὸς ἡμᾶς, ἐὰν πράττωμεν ἐξ ὧν εὖ πεπονθέναι δόξουσιν ἢ πάσχειν, ἢ πείσεσθαι. μεγάλα δὲ πράξομεν, ἐὰν πολλῶν αἰτίοις καὶ καλῶν πράξεις μεταχειριζώμεθα. καὶ τοῦτον μὲν τὸν τρόπον χρὴ τὰ κατὰ τὸν βίον αὐτοῦ παρασκευάζειν·

A quid tertium, quid quartum tractandum sit. Demum ea tibi sunt præparanda, quæ circa auditores attenduntur, de quibus in exordiis docuimus. Enimuerò beneuolentiam à persona tua captare poteris, si promissis insistas, & eosdem amicos in omnē vitā tueare, neq. in aliis actionibus inconstans esse, sed iisdem semper vti videare. Attenti autem fient auditores, si his in negotiis verseris, quæ & magna, & ho-
B nesta sunt, multísque conducant. Cùm verò beneuolos auditores reddideris, vbi ad negotiorum expositionem abs te deuentum est, quæcunque propulsationem malorum, bonorum autem continent exhibitionem, facilè apud illos admittütur: quæcunque verò secus sunt, reiiciuntur. Sed pro celeri, & aperta, & verisimili narratione hæc sunt tibi faciunda. Celeriter autem absolues, si non omnia volueris
C simul agere, sed prius primò, & quod reliqui est deinceps. Dilucide verò si non statim relicta actione in alias res prius transieris, quàm illam absolueris. Verisimiliter autem, si nihil à tuo more alienum agas. Item si non eosdem finxeris & inimicos tibi, & amicos esse. Ex his autem probationibus eas assumemus, de quibus ita scientiam ad perficienda negotia tenemus, vt eam aliis interpretari, & explicare
D possimus. De quibus autem scientiam non habemus, eas prout sæpius accidere solent, adsumemus. Tutissimè nanque in huiusmodi rebus egeris, si consuetudinem sequi volueris. In certamine verò contra aduersarios, si quidem oratione contenditur, ex iis quæ dicta sunt nostrā confirmationem faciemus. Sin verò contractibus hoc faciemus, si secundum leges & non scriptas, & scriptas, cum testibus
E quamoptimis, ac tempore præfinito eos confecerimus. Ex conclusione verò eorū, quæ dicta fuerint, reminisci auditores faciemus, si quæ gesta sunt summatim rursum dicemus. Ex his autē quæ agimus, ita commonebimus, quandocunque eadem negotia, vel similia prioribus tractemus. Beneuoli autem nobis erunt auditores, si ea gesserimus, quibus aliquid beneficij
F suscepisse, aut suscipere, aut suscepturi videbuntur. Magnas autem res geremus, si ea negotia tractauerimus, quæ multorum sint bonorū causa. Hoc igitur modo quæ ad vitam pertinent, præparanda sunt: